ἀποξέειν τῶν πρεμνῶν τὰ ἐπιτήδεια. Οὗτος κατὰ τὸ σύνηθ[ες]
εἰς τὸ παρακείμενον ὄρος τοῦ ἀγροῦ παραγενόμενος ἔπραττε
τὰ αὐτοῦ, καὶ εἰς σανίδας τὰ ξύλα ἀπέξεε. Πρὸς ταύτῃ
δὲ ὄντα τῇ ἐργασίᾳ, Τζανίων ὄνομα, γένος ἐκ Νικοπόλε[ως]
εὐσεβὴς τὴν θρησκείαν, τὴν γνώμην ἀνδρεῖος, καὶ τὰς
χεῖρας παραπλήσιος, ὡς εἶδεν οὕτω τὸν θεομάχον ταῖς
μαγγανείαις αὐτοῦ τεθαῤῥηκότα, καὶ ταῖς γοητείαις
τὴν ζωὴν πεπιστευκότα, καὶ καλὰ μόνας ξυλουργεῖν
ἐπηρμένον, μέγα τι καὶ διάτορον κατὰ τοῦ ἀπατεῶνος
ἐμβοήσας, καὶ τῇ φωνῇ φόβου τε καὶ ἐκπλήξεως πλη-
ρώσας, ἀφαιρεῖται μὲν αὐτὸς ἄοπλος ὢν τὴν ἀξίνην
τῶν χειρῶν, παίει δὲ τὸν πλάνον καιρίως· καὶ αὐταῖς
ταῖς πληγαῖς ὁ πικρὸς ἐπηκολούθησε τοῦ ἀλιτηρίου
θάνατος. Οὕτω μὲν δὴ οὕτω τὸ τῆς ἀπάτης, ὡς ἀλη[θῶς]
πνεῦμα, ὁ τῶν ἀνθρωπίνων ψυχῶν ὀλετὴρ, ἡ πικρὰ
καὶ βαθεῖα τῆς ἀποστασίας ῥίζα, τὸ ἔσχατον, καὶ χεῖρον
τῶν ἔμπροσθεν αὐτοῦ πάντων κακῶν, τῆς οἰκείας
αὐτοῦ χειρὸς καὶ τέχνης τῷ ὅπλῳ κατακοπεὶς, τῶν
θεομάχων καὶ ὑπερηφάνων λόγων, καὶ τῶν βδελυκτῶ[ν]
καὶ ἀνοσίων ἔργων, καὶ τῶν ἀμηχάνων ὑποσχέσεων καὶ
ἐλπίδων, καὶ αὐτῆς τῆς ζωῆς ἐξεκόπη, καὶ εἰς τὸ ἄ-
σβεστον πῦρ καὶ αἰώνιον, αὐτῷ τῷ θεομάχῳ φρονήμα-
τι παρεπέμφθη. Τρίτον καὶ τεσσαρακοστὸν καὶ τρια-
κοσιοστὸν, πρὸς τοῖς ϛ´ ἀπ᾽ ἀρχῆς τῆς κοσμογο-
νίας ἠνύετο ἔτος, ὅτε τὸν βίαιον ὁ θεομάχος
οὗτος ἀπέτισε θάνατον. Λείπει δὲ μαθητὰς τῆς
αὐτοῦ μυσαρότητος καὶ ἀποστασίας. Οἳ τὸ πρωτεῖον ἐν

ταῖς

Hic annus convenit cum anno Christi nati IↃCCC.XCIII. imo IↃCCCXXXV.